**Kassia, Troparion on the Sinful Woman**

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις / περιπεσοῦσα γυνή, / τὴν σὴν αἰσθομένη θεότητα, / μυροφόρου ἀναλαβοῦσα τάξιν, / ὀδυρομένη μύρον σοι / πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει, / οἴμοι, λέγουσα, / ὅτι νύξ με συνέχει, / οἶστρος ἀκολασίας, / ζοφώδης τε καὶ ἀσέληνος, / ἔρως τῆς ἁμαρτίας· / δέξαι μου τὰς πηγὰς τῶν δακρύων, /ὁ νεφέλαις στημονίζων / τῆς θαλάσσης τὸ ὕδωρ· / κάμφθητί μοι / πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας, / ὁ κλίνας τοὺς οὐρανοὺς / τῇ ἀφράστῳ σου κενώσει. / καταφιλήσω τοὺς ἀχράντους σου πόδας, / ἀποσμήξω τούτους δὲ πάλιν / τοῖς τῆς κεφαλῆς μου βοστρύχοις, / ὧν ἐν τῷ παραδείσῳ / Εὔα τὸ δειλινὸν / κρότον τοῖς ὠσὶν ἠχηθεῖσα / τῷ φόβῳ ἐκρύβη. / ἁμαρτιῶν μου τὰ πλήθη / καὶ κριμάτων σου ἀβύσσους / τίς ἐξιχνιάσει, / ψυχοσῶστα σωτήρ μου; / μή με τὴν σὴν δούλην παρίδῃς / ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

*Lord, the woman who / fell into many sins, / recognizing your divinity, / took on the myrrh-bearer's office / and brings you in tears myrrh / before your entombment / saying "Ah me! / Night is upon me, / goad of incontinence, / gloomy and moonless, / lust after sin. / Receive my streams of tears, / you who feed clouds / with the water of the sea. / Bend to my / heart's groans, / you who bent the heavens / with your ineffable abasement. / I shall kiss your immaculate feet / and wipe them again / with the hair of my head—/the feet / whose sound Eve / heard in paradise mid-afternoon / and hid in fear. / Who will fathom / the numbers of my sins / and the depths of your judgments, / my soul-saving savior? / Do not overlook me, your servant—/you who have great pity without measure."*